# 01-10 ΕΣΠΕΡΑΣ.

† Μνήμη τοῦ Ὁσίου Πατρός ἡμῶν Ἰωάννου τοῦ Κουκουζέλους ὁ ἐν τοῖς

ὁρίοις τῆς ἐν Ἄθῳ Μεγίστης Λαύρας ἐν ταπεινώσει ἀσκήσας, ἐν εἰρήνῃ τελειοῦται.

ΙΕΡΕΥΣ: Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ο ΑΝΑΓΝΩΣΤΗΣ: Ἀμήν.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, τῷ βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ Χριστῷ, τῷ βασιλεῖ καὶ Θεῷ ἡμῶν.

## Ψαλμὸς ργ΄ (103).

Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, Κύριε ὁ Θεός μου ἐμεγαλύνθης σφόδρα.

Ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω, ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον.

Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέῤῥιν, ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ.

Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων.

Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.

Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ, ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα.

Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν.

Ἀναβαίνουσιν ὄρη καὶ καταβαίνουσι πεδία εἰς τόπον, ὃν ἐθεμελίωσας αὐτά.

Ὅριον ἔθου, ὃ οὐ παρελεύσονται, οὐδὲ ἐπιστρέψουσι καλύψαι τὴν γῆν.

Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀναμέσον τῶν ὀρέων διελεύσονται ὕδατα.

Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν.

Ἐπ' αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει, ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν.

Ποτίζων ὄρη ἐκ τῶν ὑπερῴων αὐτοῦ, ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ.

Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων.

Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου.

Τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ, καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει.

Χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου, ἃς ἐφύτευσας.

Ἐκεῖ στρουθία ἐννοσσεύσουσι, τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν.

Ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς λαγῳοῖς.

Ἐποίησε σελήνην εἰς καιρούς· ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ.

Ἔθου σκότος, καὶ ἐγένετο νύξ· ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ.

Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπᾶσαι καὶ ζητῆσαι παρὰ τῷ Θεῷ βρῶσιν αὐτοῖς.

Ἀνέτειλεν ὁ ἥλιος, καὶ συνήχθησαν, καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται.

Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας· ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου.

Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος· ἐκεῖ ἑρπετὰ ὧν οὐκ ἔστιν ἀριθμός, ζῷα μικρὰ μετὰ μεγάλων.

Ἐκεῖ πλοῖα διαπορεύονται, δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῇ.

Πάντα πρὸς σὲ προσδοκῶσι δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον δόντος σου αὐτοῖς συλλέξουσιν.

Ἀνοίξαντός σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος· ἀποστρέψαντος δέ σου τὸ πρόσωπον, ταραχθήσονται.

Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν.

Ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.

Ἤτω ἡ δόξα Κυρίου εἰς τοὺς αἰῶνας· εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ.

Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν· ὁ ἁπτόμενος τῶν ὀρέων, καὶ καπνίζονται.

ᾎσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου, ἕως ὑπάρχω.

Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου, ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ.

Ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς.

Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

Καὶ πάλιν·

Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ· ἔθου σκότος, καὶ ἐγένετο νύξ.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας.

Δόξα... Καὶ νῦν...

Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. Δόξα σοι, ὁ Θεός (ἐκ γ΄).

Ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοι.

ΔΙΑΚΟΝΟΣ: Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

ΧΟΡΟΣ: Κύριε, ἐλέησον. [καὶ μετὰ ἀπὸ κάθε αἴτηση]

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ πατρός καὶ Ἀρχιεπισκόπου ἡμῶν (……), τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντός τοῦ Κλήρου καὶ τοῦ Λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ εὐσεβοῦς ἡμῶν Ἔθνους, πάσης Ἀρχῆς καὶ Ἐξουσίας ἐν αὐτῷ, τοῦ κατὰ ξηρὰν θάλασσαν καὶ ἀέρα φιλοχρίστου ἡμῶν στρατοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς πόλεως (Μονῆς, Κώμης) ταύτης,

πάσης πόλεως καὶ χώρας καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς καὶ καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.

ΧΟΡΟΣ: Σοί, Κύριε.

ΙΕΡΕΥΣ: Ὅτι πρέπει σοι, πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ΧΟΡΟΣ: Ἀμήν.

# ΚΥΡΙΕ ΕΛΕΗΣΟΝ.

Ἦχος Νη




## ΕΤΕΡΑ.



4. Κυ ρι ε ε ε λε η σο ο ον

5. Κυ ρι ε ε λε ε η σον

6. Κυ ρι ε ε λε ε ε η σον

7. Κυ ρι ε ε λε η σον

8. Κυ ρι ε ε λε η σον

9. Κυ ρι ε ε λε η σον

10. Κυ ρι ε ε λε ε η σον

11. Κυ ρι ε ε λε ε ε η σον

12. Ϲοι Κυ ρι ε

Εἰ δὲ τό, Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχους ς'
καὶ ψάλλομεν τὰ ἑπόμενα Στιχηρὰ Προσόμοια.
Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων

Ἦχος Πα




υ υ ρι ι ι ι ε
Κα τευ θυν θη η η η η τω η προ σε ευ
χη η η η μου ως θυ μι ι ι α α
μα α α α α ε νω ω ω πι ι ι ο ο ο ον
σου ε παρ σις τω ω ων χει ει ρω ων μου
θυ σι ι α ε σπε ε ρι ι νη η η ει
σα α κου ου ου σο ον μου Κυ υ υ υ ρι
ι ι ι ε
Ε αν α νο μι ας πα ρα τη ρη
σης Κυ ρι ε Κυ ρι ε τις υ πο στη
σε ται ο τι πα ρα σοι ο ι λα σμο

ο ος ε εστιν

Ἐπὶ τὸ Ἅγιον Ὄρος νῦν πορευσώμεθα καὶ πρὸς Μονὴν τῆς Λαύρας, ἐν χαρᾷ ἀναχθῶμεν, τιμῆσαι τοῦ Κυρίου τὸν ἐκλεκτόν, Ἰωάννην τὸν Ὅσιον, ὅτι ἐκεῖσε ἐβίωσε θαυμαστῶς καὶ ἡδέως ἐμελῴδησε.

Ε νε κεν του ο νο μα τος σου υ

πε μει να σε Κυ ρι ε υ πε μει νεν

η ψυ χη μου εις τον λο γον σου ηλ πι σεν

η ψυ χη η μου ε πι τον Κυ υ υ ρι ι

ον

Τὸν Ἰωάννην τὸν πάνυ, νῦν εὐφημήσωμεν, τὸν ἐν Θεοῦ σοφίᾳ καὶ φωνῇ θεσπεσίᾳ, ᾄσαντα Κυρίου τὰ θαυμαστά καὶ Παρθένου τὰ ἔνδοξα καὶ τῶν Ἁγίων ἁπάντων τὰς καλλονάς, διὰ βίου ὑπὲρ ἅπαντας.

Α πο φυ λα κης πρω ι ας με χρι
νυ κτος α πο φυ λα κης πρω ι ας ελ
πι σα τω Ισ ρα ηλ ε πι τον Κυ υ υ ρι ι
ον

**Β**ιοτικάς τε μερίμνας ἀπανηνάμενος καὶ παλατίου δόξαν καὶ τιμὰς τὰς ἐν κόσμῳ, σκύμβαλα ἡγούμενος εὐτελῆ, πρὸς τὸ Ὄρος ἀνέδραμες καὶ ἀντηλλάξω ἐσθῆτα τὴν κοσμικήν, τριβωνίου τῷ ἐνδύματι.

*Ἕτερα. Ἦχος ὁ αὐτός. Πανεύφημοι Μάρτυρες...*

Ο τι πα ρα τω Κυ ρι ω το ε
λε ος και πολ λη παρ αυ τω λυ τρω σις
και αυ τος λυ τρω σε ται τον Ισ ρα ηλ
εκ πα σω ων των α νο μι ω ω ων α αυ

του

Γλυκύτης ἐδόθη σοι φωνῆς, μελωδίας χάρισμα καὶ μουσικῆς θεῖον δώρημα, Θεοῦ θελήματι, Ἰωάννη θεῖε, μοναστῶν ἀγλάϊσμα καὶ Τούτου τὰ θεσπέσια ἔμελψας, πολλῇ ἐν χάριτι καὶ τὸ τάλαντον ἐπηύξησας καὶ τὴν δόξαν Κυρίου ἐξύμνησας.

Αἱ νει τε τον Κυ ρι ον παν τα τα

ε θνη ε παι νε σα τε αυ τον πα

αν τες οι οι λα α οι

Πτωχείαν καὶ στέρησιν πολλήν, ἐκ παιδὸς ἐγνώρισας καὶ γὰρ πατρὸς ἀπεστέρησαι ἐκ βρέφους, Ὅσιε· μητρικὴ δὲ μόνη στοργὴ σοὶ ἀπένειμε, πλὴν ταύτης ἀπηρνήσω, μακάριε, ὅτι ἀνέθηκας σεαυτὸν τῇ Θεομήτορι, ἧς οἰκέτης καὶ μύστης ἐγένεσο.

Ο τι ε κρα ται ω θη το ε λε




Κυρίου τὰς θείας ἐντολάς, ἐκπληρῶν γηθόμενος, Ἁγίου Πνεύματος πέφηνας κατοικητήριον καὶ λαμπρὰ κινύρα γεγονὼς, μακάριε, Ἀγγέλων τὰ συστήματα ἔφθασας καὶ τούτων χάριτος ἠξιώθης, παμμακάριστε, ἥν ἀνθρώποις, τοῖς πᾶσι μετέδωκας.

Ἦχος Πα


Δο ο ξα Πα τρι ι ι ι και αι Υι ω
και Α γι ι ω Πνευ μα α α τι
Ο ο σι ε ε Πα α α τερ ε πι γει ει
ει ει ου πα τρος εκ παι δο ο ος στε ρη θεις
ου ρα νι ι ι ω Πα α α τρι ε
νω ρι ι ι ις ε ε κολ λη η η η η θης
πτω ω χει ει ει αν εκ σπαρ γα α νων εν γη η γνω
ω ρι ι ι ι ι σας το ον πλου ου ου τον
του ου ρα νου ου ε ε πε πο ο ο ο
θη η η η η σας ευ νοι ας ε πι γει ου Βα σι


λε ε ε ως τυ χων σκυ υ βα α α λα
ταυ την η η γη η η σω και προς ου ρα νι ι
ον Βα σι λε ε α α α νε ε ε ε
δρα α α α μες α αν τη λλα α ξας α πα στρα
α α πτον ι ι ι μα α α τι ι ι ι ον προ
ος τρι βω ω να μο ο να χι κον και η δο νας
τας του ου βι ι ου προς α σκη σι ιν μο να
α α α στι ι ι ι κην ο ο θεν α α ξι ι ι
ως ου ρα νο ο ο ος σοι οι η νοι οι οι
οι γη και συμ πο λι της ε ε γε ε ε νου τω ων
με ε λω ω δω ω ων α πα α α αν των μεθ


ων πρε σβευ ε τω Κυ υ ρι ι ι ω ε λε η
θη ναι τας ας ψυ χα ας η η μω ω ω
ων


Ἦχος Πα
Και νυ υ υ υ υν και α ει
και εις τους αι αι ω ω ω νας των αι ω ω ω
νω ων Α α α μην
Εν τη Ε ε ρυ υ θρα θα α λα α α α
α ασ ση της α πει ρο γα α μου Νυ
υ υμ φης ει ει κω ων δι ι ε γρα α α α α
φη πο ο ο τε ε κει Μω υ σης δι αι
ρε ε ε της του ου υ υ υ δα α α α τος
εν θα α δε ε ε Γα α βρι ι ι ηλ
υ πη η ρε ε τη ης του θα α α α αυ
μα α α α τος το τε τον βυ θον ε πε ζε


ε ευ σεν α βρο ο χω ως Ι ι σρα ηλ νυ
υ υν δε τον Χρι στον ε γε εν νη η η σεν
α α σπο ο ρως η η Πα α αρ θε ε ε ε
νος η θα α α α α λα α α ασ σα με
τα την πα ρο δο ον του ου Ι ι σρα ηλ
ε ε μει νε εν α α α βα α α α τος
η α μεμ πτος με τα την κυ η σιν του Εμ μα
νου ηλ ε ε μει ει νεν α α α α α φθο
ο ο ο ρος ο ω ω ω ω ων και αι προ
ων και φα νεις ως αν θρω ω πο ος Θε ε ε
ος ε λε ε η σο ο ο ον η μα α


α α α α α ας

## Εἴσοδος, Φῶς ἱλαρόν

### Ἦχος Δι






## ΤΑ ΠΡΟΚΕΙΜΕΝΑ ΚΑΤΑ ΤΟΝ ΚΑΘΟΡΙΣΜΕΝΟΝ ΗΧΟΝ

## Προκείμενον
## Τῇ Κυριακῇ ἑσπέρας

### Ἦχος πλ. α' Νη

Ι δου δη ευ λο γει ει τε τον Κυ
ρι ον απαν τες οι δου ου λοι Κυ ρι ου (Δίς)

Στίχ. **Ο**ἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν.

Τὸ τρίτον. Ι δου δη ευ λο γει ει τε
τον Κυ ρι ι ον απαν τες οι δου ου λοι Κυ ρι ι
ου ου ου ου ου ου ου ου

## Προκείμενον
## Τῇ Δευτέρᾳ ἑσπέρας
## Ἦχος δ'

Ἦχος Δι

Κυ υ ρι ος ει σα κου σε ται μου

εν τω κε κρα γε ε ναι με προς αυ το

ον (Δίς)

Στίχ. Ἐν τῷ ἐπικαλεῖσθαί με εἰσήκουσάς μου, ὁ Θεός τῆς δικαιοσύνης μου.

Τὸ τρίτον. Κυ ρι ος ει σα κου σε ται αι μου

εν τω κε κρα γε ναι με προς αυ το ο

ον

## Τῇ Τρίτῃ ἑσπέρας. Προκείμενον.

### Ἦχος Πα

Το ε λε ος σου Κυ ρι ε κα τα δι ω
ξει με πα σας τας η με ρας της ζω ης μου
(Δὶς)

Στίχ: **Κ**ύριος ποιμαίνει με καὶ οὐδέν με ὑστερήσει· εἰς τόπον χλόης ἐκεῖ με κατεσκήνωσεν.

Τὸ τρίτον: Το ε λε ος σου Κυ ρι ε κα
τα δι ω ξει με πα σας τας η με ρας της ζω
η ης μου ου ου

Τῇ Τετάρτῃ ἑσπέρας

Προκείμενον

Ἦχος πλ. δ΄ Κε

Ο Θε ος εν τω ο νο μα τι σου σω σον με και εν τη δυ να μει σου κρι νει ει ει εις με (Δίς)

**Στίχ.** **Ὁ** Θεός εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τά ρήματα τοῦ στόματός μου.

Τὸ τρίτον. Ο Θε ος εν τω ο νο μα τι σου σω σον με και εν τη δυ να μει σου κρι νει ει εις με ε ε

## Τῇ Πέμπτῃ ἑσπέρας.

## Προκείμενον

Ἦχος λ π Βου

Η βο η θει α α μου πα ρα Κυ ρι
ου του ποι η σαν τος τον ου ρα νο ον και
την γην (Δίς)

**Στίχ. Ἦ**ρα τούς ὀφθαλμούς μου εἰς τά ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου.

Τὸ τρίτον. Η βο η θει α α μου πα ρα
Κυ ρι ου του ποι η σαν τος τον ου ρα
νο ον και την γη η ην

## Ἑσπέρας Προκείμενον.
## Τῇ Παρασκευῇ Ἑσπέρας

### Ἦχος Βαρύς

Ο Θε ος αν τι λη πτωρ μου ει το ε λε ο ος σου προ φθα α σει με (Δίς)

Στίχ. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, ὁ Θεός, καί ἐκ τῶν ἐπανισταμένων ἐπ΄ ἐμέ λύτρωσαί με.

Τὸ τρίτον. Ο Θε ος αν τι λη η πτωρ μου ει ει το ε λε ο ος σου προ φθα α σει με ε ε

Εἶτα τὰ Ἀναγνώσματα.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα (κεφ. 61, 1-10).

Πνεῦμα Κυρίου ἐπ' ἐμέ, οὗ ἕνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, ἰάσασθαι τοὺς συντετριμμένους τὴν καρδίαν, κηρύξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν· καλέσαι ἐνιαυτὸν Κυρίου δεκτόν, καὶ ἡμέραν ἀνταποδόσεως τῷ Θεῷ ἡμῶν· παρακαλέσαι πάντας τοὺς πενθοῦντας, δοθῆναι τοῖς πενθοῦσι Σιὼν δόξαν ἀντὶ σποδοῦ· ἄλειμμα εὐφροσύνης τοῖς πενθοῦσι, καταστολὴν δόξης, ἀντὶ πνεύματος ἀκηδίας· καὶ κληθήσονται γενεά, δικαιοσύνης, φύτευμα Κυρίου εἰς δόξαν. Καὶ οἰκοδομήσουσιν ἐρήμους αἰωνίους, ἐξηρημωμένας τὸ πρότερον· ἐξαναστήσονται, καὶ ἀνακαινιοῦσι πόλεις ἐρήμους, ἐξηρημωμένας ἀπὸ γενεὰς εἰς γενεάν. Καὶ ἥξουσιν ἀλλογενεῖς ποιμαίνοντες τὰ πρόβατά σου, καὶ ἀλλόφυλοι ἀροτῆρες, καὶ ἀμπελουργοὶ ὑμῶν. Ὑμεῖς δὲ Ἱερεῖς Κυρίου κληθήσεσθε, λειτουργοὶ Θεοῦ ἡμῶν. Ῥηθήσεται ὑμῖν· ἰσχὺν ἐθνῶν κατέδεσθε, καὶ ἐν τῷ πλούτῳ αὐτῶν θαυμασθήσεσθε, ἀντί τῆς αἰσχύνης ὑμῶν τῆς

διπλῆς, καὶ ἀντὶ τῆς ἐντροπῆς, ἀγαλλιάσεται ἡ μερὶς αὐτῶν. Διὰ τοῦτο τὴν γῆν αὐτῶν ἐκ δευτέρου κληρονομήσουσι, καὶ εὐφροσύνη αἰώνιος ὑπὲρ κεφαλῆς αὐτῶν. Ἐγὼ γὰρ εἰμι Κύριος, ἀγαπῶν δικαιοσύνην καὶ μισῶν ἁρπάγματα ἐξ ἀδικίας· καὶ δώσω τὸν μόχθον αὐτῶν δικαίοις, καὶ διαθήκην αἰώνιον διαθήσομαι αὐτοῖς. Καὶ γνωσθήσεται ἐν τοῖς ἔθνεσι τὸ σπέρμα αὐτῶν, καὶ τὰ ἔκγονα αὐτῶν ἐν μέσῳ τῶν λαῶν· καὶ ὁ ὁρῶν αὐτούς, ἐπιγνώσεται αὐτούς, ὅτι οὗτοί εἰσι σπέρμα εὐλογημένον εἰς τοὺς αἰῶνας ὑπὸ Θεοῦ, καὶ εὐφροσύνῃ εὐφρανθήσονται ἐπὶ Κύριον.

## Λευϊτικοῦ τὸ Ἀνάγνωσμα *(κεφ. 26, 3-10 καὶ ἐκλογή).*

Ἐλάλησε Κύριος τοῖς υἱοῖς Ἰσραήλ, λέγων· Ἐὰν τοῖς προστάγμασί μου πορεύησθε, καὶ τὰς ἐντολάς μου φυλάσσησθε, καὶ ποιῆτε αὐτάς, δώσω τὸν ὑετὸν ἐν καιρῷ αὐτοῦ, καὶ ἡ γῆ δώσει τὰ γεννήματα αὐτῆς, καὶ τὰ ξύλα τῶν πεδίων ἀποδώσει τὸν καρπὸν αὐτῶν· καὶ καταλήψεται ὑμῖν ὁ ἀλοητὸς τὸν τρυγητόν, καὶ ὁ τρυγητός καταλήψεται τὸν σπόρον. Καὶ φάγεσθε τὸν ἄρτον ὑμῶν εἰς πλησμονήν, καὶ κατοικήσετε μετὰ ἀσφαλείας ἐπὶ τῆς γῆς ὑμῶν, καὶ οὐκ ἔσται ὑμᾶς ὁ ἐκφοβῶν· καὶ ἀπολῶ θηρία ἐκ τῆς γῆς ὑμῶν, καὶ πόλεμος οὐ διελεύσεται διὰ τῆς γῆς ὑμῶν, καὶ πεσοῦνται οἱ ἐχθροὶ ὑμῶν ἐνώπιον ὑμῶν, καὶ διώξονται ἐξ ὑμῶν πέντε ἑκατόν, καὶ ἑκατόν ὑμῶν διώξονται μυριάδας. Καὶ ἐπιβλέψω ἐφ᾽ ὑμᾶς, καὶ εὐλογήσω ὑμᾶς, καὶ αὐξανῶ ὑμᾶς, καὶ πληθυνῶ ὑμᾶς, καὶ στήσω τὴν διαθήκην μου μεθ᾽ ὑμῶν. Καὶ φάγεσθε παλαιά, καὶ παλαιὰ παλαιῶν, καὶ παλαιὰ ἐκ προσώπου νέων ἐξοίσετε. Καὶ οὐ βδελύξεται ἡ ψυχή μου ὑμᾶς, καὶ ἐμπεριπατήσω ἐν ὑμῖν, καὶ ἔσομαι ὑμῶν Θεός, καὶ ὑμεῖς ἔσεσθέ μοι λαός.

Ἐὰν δὲ μὴ εἰσακούσητέ μου, μηδὲ ποιήσητε τὰ προστάγματά μου ταῦτα, ἀλλὰ ἀπειθήσητε αὐτοῖς, καὶ τοῖς κρίμασί μου προσοχθήσῃ ἡ ψυχὴ ὑμῶν, ὥς τε ὑμᾶς μὴ ποιεῖν πάσας τὰς ἐντολάς μου, καὶ ἐγὼ ποιήσω οὕτως ὑμῖν. Ἐπιστήσω ἐφ᾽ ὑμᾶς τὴν ἀπορίαν, καὶ σπερεῖτε διακενῆς τὰ σπέρματα ὑμῶν, καὶ ἔδονται τοὺς πόνους ὑμῶν οἱ ὑπεναντίοι ὑμῶν. Καὶ ἐπιστήσω τὸ πρόσωπόν μου ἐφ᾽ ὑμᾶς, καὶ πεσεῖσθε ἐναντίον τῶν ἐχθρῶν ὑμῶν, καὶ διώξονται ὑμᾶς, καὶ φεύξεσθε οὐδενὸς διώκοντος ὑμᾶς· καὶ συντρίψω τὴν ὕβριν τῆς ὑπερηφανίας ὑμῶν· καὶ θήσω τὸν οὐρανὸν ὑμῖν ὡς σιδηροῦν, καὶ τὴν γῆν ὡσεὶ χαλκῆν. Καὶ ἔσται εἰς κενόν ἡ ἰσχὺς ὑμῶν, καὶ ἡ γῆ ὑμῶν οὐ δώσει τὸν σπόρον αὐτῆς, καὶ τὰ ξύλα τοῦ ἀγροῦ οὐ δώσει τὸν καρπὸν αὐτῶν. Καὶ ἀποστελῶ ἐφ᾽ ὑμᾶς τὰ θηρία τὰ ἄγρια τῆς γῆς, καὶ ἐξαναλώσει τὰ κτήνη ὑμῶν, καὶ ὀλιγοστοὺς ποιήσει ὑμᾶς ἐπιπορευομένη μάχαιρα. Καὶ ἔσται ἡ γῆ ὑμῶν ἔρημος καὶ αἱ ἐπαύλεις ὑμῶν ἔσονται ἔρημοι· ὅτι ὑμεῖς ἐπορεύθητε πρὸς μὲ πλάγιοι, κἀγὼ πορεύσομαι πρὸς ὑμᾶς ἐν θυμῷ πλαγίῳ· λέγει Κύριος ὁ Θεός, ὁ Ἅγιος Ἰσραήλ.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. 4, 7-15)

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δὲ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίω ἡ ψυχὴ αὐτοῦ, διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Εἴπωμεν πάντες ἐξ ὅλης της ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν.

Κύριε ἐλέησον (ἅπαξ).

Κύριε παντοκράτορ ὁ Θεός τῶν πατέρων ἡμῶν, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

Κύριε ἐλέησον (ἅπαξ).

Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός Σου, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

Κύριε ἐλέησον (ἐκ τρίτου).

Ἔτι δεόμεθα ὑπέρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος).

Κύριε ἐλέησον (ἐκ τρίτου).

Ἔτι δεόμεθα ὑπέρ τῶν ἀδελφῶν ἡμῶν, τῶν ἱερέων, ἱερομονάχων, ἱεροδιακόνων καὶ μοναχῶν , καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Κύριε ἐλέησον (ἐκ τρίτου).

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων του Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ (κώμῃ, πόλει) ταύτῃ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καὶ ἀφιερωτῶν τοῦ ἁγίου ναοῦ τούτου.

Κύριε ἐλέησον (ἐκ τρίτου)

Ἔτι δεόμεθα ὑπέρ τῶν μακαρίων καὶ ἀοιδίμων κτιτόρων τῆς ἁγίας Ἐκκλησίας ταύτης, καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς, κειμένων, καὶ ἁπανταχοῦ ὀρθοδόξων.

Κύριε ἐλέησον (ἐκ τρίτου)

Ἔτι δεόμεθα ὑπέρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ, τοῦ ἀπεκδεχομένου τὸ παρὰ Σοῦ μέγα καὶ πλούσιον ἔλεος.

Κύριε ἐλέησον (ἅπαξ)

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν , τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Προεστὼς ἢ ὁ Ἀναγνώστης:

Ἀμήν. Καταξίωσον, Κύριε, ἐν τῇ ἑσπέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς. Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν. Γένοιτο, Κύριε, τὸ ἔλεός

σου ἐφ᾽ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ. Εὐλογητὸς εἶ, Κύριε. δίδαξόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Δέσποτα, συνέτισόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Ἅγιε, φώτισόν με τοῖς δικαιώμασί σου. Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς. Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Διάκονος:

Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Κύριε ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ Σῇ χάριτι.

Κύριε ἐλέησον.

Τὴν ἑσπέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρά τοῦ Κυρίου, αἰτησώμεθα.

Παράσχου Κύριε.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα των ψυχῶν καί τῶν σωμάτων ἡμῶν, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καί τῶν πλημμελημάτων ἡμῶν, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Χριστιανὰ τὰ τέλη της ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπί τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Παράσχου Κύριε.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Σοὶ Κύριε.

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας των αἰώνων.

Ὁ Χορός: Ἀμήν.

Εἰρήνη πᾶσι.

Καὶ τῷ πνεύματί σου.

Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Σοί, Κύριε.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ κλίνας οὐρανοὺς καὶ καταβὰς ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων, ἔπιδε ἐπί τοὺς δούλους σου καὶ ἐπὶ τὴν κληρονομίαν σου. Σοὶ γὰρ τῷ φοβερῷ καὶ φιλανθρώπῳ κριτῇ, οἱ σοὶ δοῦλοι ὑπέκλιναν τὰς κεφαλάς, τοὺς δὲ αὐτῶν ὑπέταξαν αὐχένας; οὐ τὴν ἐξ ἀνθρώπων ἀναμένοντες βοήθειαν, ἀλλὰ τὸ σὸν περιμένοντες ἔλεος, καὶ τὴν σὴν ἀπεκδεχόμενοι σωτηρίαν, οὓς διαφύλαξον ἐν παντὶ καιρῷ, καὶ κατὰ τὴν παροῦσαν ἑσπέραν καὶ τὴν προσιοῦσαν νύκτα, ἀπὸ παντὸς ἐχθροῦ, ἀπὸ πάσης ἀντικειμένης ἐνεργίας διαβολικῆς, καὶ διαλογισμῶν ματαίων καὶ ἐνθυμήσεων πονηρῶν.

Εἴη τὸ κράτος τῆς βασιλείας σου εὐλογημένον καὶ δεδοξασμένον, τοῦ Πατρὸς καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός: Ἀμήν.

Εἰς τὴν Λιτήν, Στιχηρὸν Ἰδιόμελον.
Ἦχος α΄

Ἐν ἀγρυπνίαις πολλάκις ἐγρηγορῶν καὶ ἐν παννυχίσιν ὀρθοστάδην ὑμνολογῶν, τὴν Θεομήτορα ἐμεγάλυνες, ἐν τῷ Ἄξιον ἐστιν. Αὕτη δὲ σὲ ἠμείψατο, Ἰωάννη, καθ᾽ ὕπνους, χρυσῷ νομίσματι. Καὶ ἀσθενήσαντά ποτε ἐκ τῆς ὀρθοστασίας, ὑγιῆ σὲ κατέστησε, ᾗ εὐγνωμονῶν ἐπηύξησας τὴν ὑμνῳδίαν, ἐκδιδάσκων καὶ ἡμᾶς, εὐγνωμόνως ὅτι δεῖ, πρὸς Αὐτὴν φέρεσθαι.

Δόξα... Ἦχος πλ. α΄.

Ἔθηκας τὴν ἀλκήν σου, ἐν τῷ σκάμματι τῆς ἀσκήσεως, ἔθυσας τὴν ζωήν σου, ὡς λαμπάδα πυρίδαπτον Κυρίῳ τῷ Θεῷ σου. Τὸ πιστευθέν σοι τάλαντον, εἰς ὑμνῳδίαν Κυρίου ἀπέθεσας καὶ τῷ κάλλει τῆς Μητρὸς τοῦ Λόγου ἀφιέρωσας. Ἣν ὡς ἄνωθεν οἱ Προφῆται πολλαχῶς προκατήγγειλαν, σὺ πολυειδῶς ἐμελῴδησας. Σὺν αὐτῇ οὖν πρέσβευε, Ἰωάννη Ὅσιε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος πλ. α΄ Πα


Και νυν και α ει ει και εις τους αι ω νας
των αι ω ω ω ω νω ων Α α α μην
Μα κα ρι ι ι ι ζοο με ε εν σε ε
Θε ε ο ο το ο ο ο κε ε Πα α αρ θε
ε ε ε νε και δο ξα α α α ζο ο με
ε εν σε ε οι οι πι ι στοι οι οι οι κα α
τα α α χρε ε ε ε ος την πο ο ο λι ιν
τη η ην α α σει ει ει στον το τει ει
ει ει ει χος το ο α αρ ρη η κτο ον
την α αρ ρα α γη η η η προ ο στα α σι
ι ι αν και αι κα α τα φυ υ γη η η


η η η η η η η η ην τω ων ψυ
χω ων η η μων

Πλαγίου Τετάρτου.

Ἦχος Νη



Πα ρασχου Κυ υ υ ρι ε

Πα ρασχου Κυ ρι ε

Υ περ α γι α Θε ο το κε σωσον η μας

Σοι οι οι οι οι οι οι οι οι οι Κυ υ υ υ ρι ε

Α μην

Ἦχος λ π ϥ Ἐναρμόνιος

Κυ ρι ε ε ε λε ε ησον

Κυ ρι ε ε λε η σον

Κυ υ ρι ε ε λε η η σον


Κυ ρι ε ε ε λε ε η η σον
Κυ ρι ε ε λε ε ε η σον
Πα ρα σχου Κυ ρι ε
Πα ρα σχου Κυ ρι ε
Πα ρα σχου Κυ ρι ε
Πα ρα σχου Κυ υ ρι ε
Πα ρα σχου Κυ υ ρι ε
Πα ρα σχου Κυ ρι ε

## Εἰς τὴν Ἀρτοκλασίαν

Ἦχος Δι




## ΚΥΡΙΕ ΕΛΕΗΣΟΝ ΑΓΙΟΡΕΙΤΙΚΟ ΗΧΟΣ ΠΛ. Α΄



# 01-10 ΕΣΠΕΡΙΝΟΣ ΤΟΥ ΟΣΙΟΥ ΙΩΑΝΝΟΥ ΤΟΥ ΚΟΥΚΟΥΖΕΛΟΥΣ

## Θεοτόκε Παρθένε

Ἦχος λ/π ϙ Κε




ων
Πλου σι οι ε πτω χευ σαν και ε πει
να σαν οι δε εκ ζη τουν τες τον Κυ ρι ον
ουκ ε λατ τω ω θη σον ται παν το ος
α γα θου
Το τέλος τοῦ τρίτου.
παν το ος α γα
θου ου ου ου ου ου ου

## Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.
## Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν

Χαίροις ὁ Δυῤῥαχίου βλαστός, οὗ ἡ πτωχεία συνοδίτης ἐγένετο, κουκίοις γὰρ καὶ ζελίοις, ἀπὸ παιδὸς ἐκτραφείς, Κουκουζέλης τοὔνομα προσέλαβες. Φωνῆς ὅμως δώρημα, ἐκ Θεοῦ σοὶ δεδώρηται, νοὸς ὀξύτης καὶ τοῦ σώματος εὔκλεια καὶ παλάτιον στοργικῶς ἀνεῴχθη σοι· ἔνθα ἐνδιαιτώμενος καὶ τέχνῃ μυούμενος, διακριθεὶς δ᾽ὑπὲρ πάντας, Πρωτομαΐστωρ ἐγένεσαι· κοσμῶν ἐπαξίως, Κομνηνῶν τὴν δυναστείαν, καὶ τὸ Βασίλειον.




Χαίροις ἡ λιγυρὰ ἀηδών, ὁ θεῖος τέττιξ, ἡ κινύρα τοῦ Πνεύματος, τὸ ᾆσμα τὸ τῶν ᾀσμάτων, ἡ θαλπωρὴ ἀκοῆς, μοναστῶν τὸ στόμα τὸ ἀσίγητον· ἡ λύρα ἡ εὔηχος, θεία σάλπιγξ ἀσίγητος, κατακηλοῦσα μοναχῶν τὰ συστήματα, καθηδύνουσα ἀκοάς τε καὶ πνεύματα· ὄργανον παναρμόνιον, ψαλτήριον εὔηχον, οὗ τῶν χορδῶν κρουομένων, φύσις ἡ

ἄλογος τέρπεται, φαιδρύνεται κτίσις καὶ ἀνθρώπων αἱ καρδίαι, πρὸς ὕψος αἴρονται.

Στίχ. Τοις Α γι οις τοις εν τη γη Αυ του ε θαυ μα στωσεν ο Κυ ριος

Χαίροις, Ἁγίου Ὄρους Πατήρ, ὁ οὐδενὸς τῶν ἀσκητῶν αὐτοῦ δεύτερος, ὁ πρᾶξιν καὶ θεωρίαν, συγκαταμείξας λαμπρῶς καὶ σεμνῶς τῷ βίῳ πορευόμενος· διὸ κεχαρίτωσαι, Ἰωάννη πανόλβιε, χάριτος θείας ἐνδυθεὶς τὴν εὐπρέπειαν καὶ ἐπάξιον ταύτης φέρων τὸ ὄνομα. Ἔμελψας Παντοκράτορα, Ἁγνὴν Θεομήτορα καὶ τῶν Ἁγίων τοὺς δήμους καὶ τῶν Ἀγγέλων τὰ τάγματα· μεθ’ ὧν συναγάλλῃ καὶ πρεσβεύεις ὑπὲρ πάντων, τῶν εὐφημούντων σε.


Ἦχος Πα.
Δε ε ε ε Δο ο ο ξα Πα
τρι ι ι ι ι και Υι ω και Α γι ι ω Πνε
ευ μα α α τι ι ι ι
Πρω ω τος εν με λω δι α α α α
α α νε ε δει χθης Ι ω α αν νη η η μα
κα α α ρι ι ι ι ε ο ο τι ο
σι α βι ο τη σοι οι οι οι ε δω ρη η η
η σα α α α το το α υ υ λω ω ως
ζειν και τοις Αγ γε λοις α να στρε ε φε
ε ε σθαι και τας με λω δι ι ι ας των Α
σω μα των ε ε ε νω τι ι ι ζε ε ε ε σθαι

ταυ τα ας ουν τη του Κυ ρι ου ου ου

ε ε ε πι ι νευ σει ως αλ λος υ πο φη της

τοις αν θρω ποι οι οις προ ση η η νε ε ε

ε γκας και ε δι ι δα α α ξα ας μελ πειν

του Σω τη η η ρος την αι νε ε σιν και της

Θε ο μη η το ο ο ρος και αι πα

α α αν των τω ω ων α γι ι ι ι ων

ων ταις ι κε σι ι αις δω ρη η ση η

αι αι αι η μι ιν Κυ ρι ι ο ος το με

ε ε γα αυ του ου ου ε ε ε λε ε ε ε

ο ο ος

## Καὶ νῦν... Θεοτοκίον.

Ἦχος πλ. α' Πα




των Α γι ι ι ω ων ε λε η ϑη η η η
ναι τα ας ψυ χα α ας η η η η μω ω ω
ω ω ων

ΙΕΡΕΥΣ: Νῦν ἀπολύεις τον δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν, φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

Ὁ Ἀναγνώστης: Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (ἐκ γ΄).

Δόξα Πατρὶ... Καὶ νῦν...

Παναγία Τριάς, ἐλέησον ἡμᾶς.

Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν,

Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν.

Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον, Κύριε, ἐλέησον, Κύριε, ἐλέησον.

Δόξα Πατρὶ... Καὶ νῦν...

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τόν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι

ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

ὁ ἱερεύς:

Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ Πατρὸς καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΧΟΡΟΣ: Ἀμήν.

## Ἀπολυτίκιον τοῦ Ὁσίου

### Ἦχος δ'. Ταχὺ προκατάλαβε...

### Ἦχος Δι



Ἦχος Δι

Δο ξα Πα τρι και Υι ω και Α γι

ω Πνευ μα τι

Και νυν και α ει και εις τους αι ω

νας των αι ω νων α μην

Το απ αι ω νος α πο κρυ φον και Αγ γε

λοις α γνω στον μυ στη ρι ον δι α σου Θε

ο το κε τοις ε πι γης πε φα νε ρω ται Θε

ος εν α συγ χυ τω ε νω σει σαρ κου με νος

και Σταυ ρον ε κου σι ως υ περ η μων κα τα

δε ξα με νος δι ου α να στη σας τον

πρω το ο πλα στον ε σω σεν εκ θα να του

τας ψυ χας η μω ω ων

ΙΕΡΕΥΣ: Σοφία!

ΧΟΡΟΣ: Εὐλόγησον.

ΙΕΡΕΥΣ: Ὁ ὢν εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Προεστὼς ἢ ὁ Ἀναγνώστης: Ἀμήν. Στερεώσαι, Κύριος ὁ Θεός, τὴν ἁγίαν ἀμώμητον πίστιν τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν, σὺν τῇ ἁγίᾳ αὐτοῦ Ἐκκλησίᾳ καὶ τῇ πόλει (ἢ τῇ μονῇ, ἢ χώρᾳ, ἢ τῇ νήσῳ) ταύτῃ εἰς αἰῶνας αἰώνων. Ἀμήν.

ΙΕΡΕΥΣ: Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ὁ Ἀναγνώστης: Τὴν Τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

ΙΕΡΕΥΣ: Δόξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Ὁ Ἀναγνώστης: Δόξα... Καὶ νῦν..., Κύριε ἐλέησον (γʹ), Πάτερ ἅγιε, εὐλόγησον.

ΙΕΡΕΥΣ: Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ μητρός, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν

τιμίων ἐπουρανίων Δυνάμεων ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων, τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, καὶ πάντων τῶν Ἁγίων, ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος καὶ ἐλεήμων Θεός.

ΙΕΡΕΥΣ: Δι᾽ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἐλέησον καὶ σῶσον ἡμᾶς.

Ὁ Χορός: Ἀμήν.

Ἡ Μεταφορὰ Κειμένων - Καλλιτεχνικὴ ἐπιμέλεια
ἔγινε μὲ τὸ πρόγραμμα «Μελωδός»
τοῦ κ. Σάββα Παπαδόπουλου
www.melodos.com
ἀπὸ τὸν Βασίλειο Κιαμηλίδη
Ἱεροψάλτη στὸν Ι.Ν. Ἁγίου Γεωργίου Κουλούρας Βέροιας.